


... [illegible] Kip


... [illegible]

... gratiam et honorem

Nic. Kragii & Chr. Mich. Choagii


Viteb., 1575.












BIBLIOTHECA REGIA
HAFNIENSIS

GRATVLATIO,

IN GRATIAM ET HONOREM, ERVDITIONE AC VIRtutibus præstantium Virorum, D. Magistri NICOLAI KRAGII RIPENSIS, & D. Magistri CHRISTIERNI MICHAELIS CHOAGII, cum ipsis gradus Magisterij philosophici in Academia Vitebergensi decerneretur, ipsis Calendis Martij, Anno 1575. Scripta

A

M. NICOLAO LAVRENTIO RIPENSI.

219

Τέχνας ἐλευθερίας Ξενοφῶν σοφὸς ἔμμεναι αὐδᾷ,
πηγὰς νημερτὲς καλῶν ἐρατεινὰς ἁπάντων.
τούτων μὲν ῥίζαι μάλα πικραὶ ἀεὶ τελέθουσι,
καρπὸς δ᾽ ἄλλα γλυκύς τε καὶ ἄφθονός ἐστιν ἀληθῶς
ἀνδράσιν αἰδοίοις, σεμνῶν γυμνάσματα μουσῶν,
οἵτινες ὀτραλέως φιλέουσιν ἐνὶ φρεσὶν ᾗσιν.
ἤϋτε μὲν ῥίζαι ὑακίνθων ἱμερόεσσων,
ἤματι χειμερίῳ ὑπὸ γαίης εὐρυοδείης,
πάντα χρόνον κρατερῶς κεκλεισμέναι αἰὲν ἔασιν:
αὐτὰρ ὅταν θέρεος καματώδεος ὥρα ἵκηται,
θάλλουσιν λιπαρῶς τοῖς ἄνθεσιν εἰαρινοῖσι,
καρπὸν ἔπειτα φέρουσι καλῶς πάμπολλον ἀρούρης.
ὣς μὲν ἀγακλειτοὶ μουσῶν θεράποντες ἀγαυῶν,
τὸ πρῶτον δ᾽ ἐθέλουσιν ἀκὴν ῥιζῶν μάλα πικρῶν
γεύσασθαι τῶν τεχνῶν, πρᾴως καὶ ἄλγεα πάσχειν
πολλά, πόνοισιν ἀπειρεσίοις καμάτοις χαλεποῖς τε:
καρπὸς ἔπειτα μάλα γλυκερὸς καὶ ἡδὺς ὑπάρχει.
τῆς ἀρετῆς ἱδρῶτα θεὸς γὰρ πρόσθεν ἔθηκεν.
Τοὔνεκα ΝΙΚΟΛΕΩΣ πατριωτάων ὄχ᾽ ἄριστε,
καὶ ΜΙΧΑΗΛ, ὃς ἔχεις κλυτὸν οὔνομα ΧΡΙΣΤΙΑΝΟΙΟ,
ἐν θνητοῖς μερόπεσσιν ἀεὶ μέγα ὀλβίω ἐστόν.
σφῶν γὰρ εὐστέφανοι μοῦσαι τὸ ἔπαθλον ὄπασσαν
φέρτιστον, τὸν ἀντὶ πόνων, τιμὴν χαρίεσσαν,
οὔνομα τὸ ζάθεον, γέρας ἠδὲ διδασκάλου ἐσθλόν:
ἀκαμάτῳ σπουδῇ πρώτιστα γὰρ ἄκριτα θυμῷ
ἄλγεα ἐνδυκέως ἐμογήσατον, οὐρανίοιο
ῥῆμα μαθῆσαι θεσπέσιον, διδαχήν τε θεοῖο,
καὶ γνῶσιν τεχνῶν ὁλόκληρον ἐλευθεριάων,
γράμματα καὶ Αὐσονίης καὶ Ἑλλάδος Ἑβραϊκῆς τε.
ἡ μετέπειτα φύσις καλῶς σφὼ ἔδωκε τυπῶσαι
ἄστρων φαντασίην, τοῦ βήλου θεσπεσίοιο,
τῆς ἁλὸς ἀτρυγέτου, γαίης τε καὶ ἀνθεμοέσσης.
νύμφαι γοῦν κεδναὶ λευκώνυμον οὖρος ἔχουσαι
ἡδυεπεῖς, τόδε οὔνομα καὶ τιμὴν σφὼ ἔδωκαν.
Χαίρετον ἀμφοτέρω, μουσῶν θεράποντ᾽ ἐρατεινῶν,
πάντα θεὸς δοίη σφῶν ψυχὴ ὅσσα μενοινᾷ
ὄλβια, ὄφρ᾽ αὐτῷ, ἐρατῇ καὶ πατρίδι αἰὲν
ἄξια μὲν τελέσαι, κατὰ μοῖραν, ἅπαντα διώκηθον.
χαίρετον ἀμφοτέρω μεμνημένω αἰὲν ἐμοῖο.

Viteberga excudebat Iohannes Crato, Anno 1575.

ie Chr. Mich. ... postea Prof. Ped... & deinde Gr. L. ... ei defuncto succ... N. Kragius —

Nic. Laur. ... fuit postea ... Pædagog. v. ...

